## PHAEDIMUS

### III

τόξον μὲν ᾧ γίγαντος ὤλεσας σθένος
  ἴσχε βίης, Ἑκάεργ' †ἀνάσσων.
οὔ σοι φαρέτρη λύεται λυκοκτόνος,
  τόνδε δ' ἐπ' ἠιθέοις ὀιστόν
στρέφειν Ἔρωτος, τόφρ' ἀλέξωνται πάτρῃ
  θαρσαλέοι φιλότητι κούρων
†πυρὸς γὰρ ἀλκή†, καὶ θεῶν ὑπέρτατος
  αἰὲν ὅδε προμάχους ἀέξειν.
Μελιστίωνος δ', ὦ πατρώιον σέβας
  Σχοινιέων, ἐπίηρα δέχθαι.

### IV

αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμείβων,
  νυμφίον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη,
δεξαμένη σποδιήν τε καὶ ὀστέα· τὸν δὲ δυσαές
  ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον,
δύσμορον, ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
  ξεῖνε, Τορωναίων εἵλκυσαν ἐς λιμένα.

## RHIANUS

### I [2D.]

Ὧραί σοι Χάριτές τε κατὰ γλυκὺ χεῦαν ἔλαιον,
  ὦ πυγά, κνώσσειν δ' οὐδὲ γέροντας ἐᾷς.
λέξον μοι, τίνος ἐσσί, μάκαιρα τύ, καὶ τίνα παίδων
  κοσμεῖς; ἁ πυγὰ δ' εἶπε "Μενεκράτεος".